**1.**

τὸν δ’ ἠμείβετ’ ἔπειτα **ποδάρκης δῖος Ἀχιλλεύς** (*Il.* 1,121; cfr. 18,181)

**τοῖσι δὲ καὶ μετέειπε** ποδάρκης δῖος Ἀχιλλεύς (*Il.* 23,889)

τὸν δ’ ἠμείβετ’ ἔπειτα **ἄναξ ἀνδρῶν Ἀγαμέμνων** (*Il.* 1,172)

**τοῖσι δὲ καὶ μετέειπε(ν)** ἄναξ ἀνδρῶν Ἀγαμέμνων (*Il.* 3,455)

**2.**

οὐλομένην, ἣ μυρί’ Ἀχαιοῖς **ἄλγε’ ἔθηκε** (*Il.* 1,2)

Τρωσί· μάλιστα δ’ ἐμοὶ περὶ πάντων **ἄλγε’ ἔθηκε** (*Il.* 22,422)

σκηπτοῦχος βασιλεύς, ᾧ τε Ζεὺς **κῦδος ἔδωκεν** (*Il.* 1,279)

Ἕκτωρ Πριαμίδης, ὅτε οἱ Ζεὺς **κῦδος ἔδωκε** (*Il.* 8, 216 = 11,511 = 19,204, ma con ν agogico)

ἔκταν’ ἐνὶ προμάχοισι καὶ Ἕκτορι **κῦδος ἔδωκε** (*Il.* 18,456 = 19,414)

ἵπποις ἧκε μένος καὶ ἐπ’ αὐτῷ **κῦδος ἔθηκε** (*Il.* 23,400)

νῦν ὤρεξε τάχος καὶ ἐπ’ αὐτῷ **κῦδος ἔθηκεν** (*Il.* 23,406)

οἴχετ’ ἀνὴρ ὤριστος, ἐμοὶ δὲ μέγ’ **εὖχος ἔδωκε** (*Il.* 11,288)

Ἕκτορ’, ἀτὰρ Τεῦκρον Τελαμώνιον **εὖχος ἀπηύρα** (*Il.* 15,462)

**3.**

*Il.* 9,412-416
εἰ μέν κ’ αὖθι μένων Τρώων πόλιν ἀμφιμάχωμαι,
ὤλετο μέν μοι νόστος, ἀτὰρ κλέος ἄφθιτον ἔσται·
εἰ δέ κεν οἴκαδ’ ἵκωμι φίλην ἐς πατρίδα γαῖαν,
ὤλετό μοι κλέος ἐσθλόν, ἐπὶ δηρὸν δέ μοι αἰὼν
ἔσσεται, οὐδέ κέ μ’ ὦκα τέλος θανάτοιο κιχείη

**3b**

ὄψιμον ὀψιτέλεστον, ὅου **κλέος οὔ ποτ’ ὀλεῖται** (*Il.* 2,325)

ὥς ποτέ τις ἐρέει· τὸ δ’ ἐμὸν **κλέος οὔ ποτ’ ὀλεῖται** (*Il.* 7,91)

ἀνδρὸς κουριδίου. τῶ οἱ **κλέος οὔ ποτ’ ὀλεῖται** (*Od.* 24,196)

**3c**

**ἄσβεστον κλέος εἴη**, ἐγὼ δέ κε πατρίδ’ ἱκοίμην (*Il.* 7,333)

χεῦ’ Ἀγαμέμνονι τύμβον, ἵν’ **ἄσβεστον κλέος εἴη** (*Od.* 4,584)

**3d**

ἀσπίδα Νεστορέην, τῆς νῦν **κλέος οὐρανὸν ἵκει** (*Il.* 8,192)

ἀνθρώποισι μέλω, καί μεο **κλέος οὐρανὸν ἵκει** (*Od.* 9,20)

**3e**

εἵλετο δὲ σκῆπτρον πατρώϊον **ἄφθιτον αἰεί** (*Il.* 2,46)

δέξατό οἱ σκῆπτρον πατρώϊον **ἄφθιτον αἰεί** (*Il.* 2,186)

δῶρα δέ τοι δώσω καλὸν θρόνον **ἄφθιτον αἰεί** (*Il.* 14,238)

χρύσεα μαρμαίροντα τετεύχαται **ἄφθιτα αἰεί** (*Il.* 13,22)

**3f**

ἀσκηθής· μέγα κέν οἱ ὑπουράνιον **κλέος εἴη** (*Il.* 10,212)

ἀλλὰ πρὸς Τρώων καὶ Τρωϊάδων **κλέος εἶναι** (*Il.* 22,514)

χεῦ’ Ἀγαμέμνονι τύμβον, ἵν’ ἄσβεστον **κλέος εἴη** (*Od.* 4,584)

τοῦ δὴ νῦν γε μέγιστον ὑπουράνιον **κλέος ἐστί** (*Od.* 9,264)